τῇ πατρίδι δὴ προσαπολλύμενος οἴκοι θεῶν· τοῦτον δὲ μετὰ τῶν ἄλλων
ζημιῶν, ἐκτίνειν καὶ τῇ πόλει τὴν βλάβην· πρὸς γὰρ ταῖς
αὐτοῦ ἂν στρατείαις, καὶ ὑπὲρ τοῦ ἀδυνάτου στρατευέσθω. καὶ
τὰς ὑπὲρ ἐκείνου στρατεύεσθαι τάξεις· ἢ μὴ δρῶν ταῦ-
τα, ὑπὸ δικαστοῦ ἐθέλοντι τῷ ἀστρατείας γράφεσθαι κατὰ
νόμον. τὴν δὲ δὴ τῆς βλάβης ἀξίαν, εἴτε διπλῆν εἴτε τριπλῆν
εἴτε καὶ τετραπλασίαν, οἱ καταψηφισάμενοι δικασταὶ ταττ-
όντων. ἐὰν δὲ ὁμόγονος ὁμόγονον τὸν αὐτὸν τρόπον τούτῳ
τρώσῃ, τοὺς γεννήτας καὶ τοὺς συγγενεῖς μέχρι ἀνεψιῶν παί-
δων προσήκοντας καὶ ἀνδρῶν, γυναῖκάς τε καὶ ἄνδρας συ-
νελθόντας κρίναντας, παραδιδόναι τιμᾶν τοῖς γεννήσα-
σι κατὰ φύσιν· ἐὰν δὲ ἀμφισβητήσιμος ἡ τίμησις γί-
γνηται, τοὺς πρὸς ἀνδρῶν εἶναι τιμῶντας κυρίους· ἐὰν δὲ
ἀδυνατῶσιν αὐτοί, τοῖς νομοφύλαξιν τελευτῶντας ἐπιτρέ-
πειν. ἐκγόνοις δὲ πρὸς γονέας τῶν τοιούτων τραυμάτων,
δικαστὰς μέν, τοὺς ὑπὲρ ἑξήκοντα ἔτη γεγονότας εἶναι ἀναγκαίως,
οἷς ἂν παῖδες μὴ ποιητοὶ ἀλλ' ὄντως ὦσιν· ἂν δέ τις ὄφλῃ,
τιμᾶν εἴτε τεθνάναι χρὴ τὸν τοιοῦτον, εἴτε ἄλλο μεῖζον ἔτι τούτου
πάσχειν ἢ καὶ μὴ πολλῷ σμικρότερον· καὶ τῶν συγγενῶν
τοῦ δράσαντος, μὴ δικαζέτω μηδείς, μηδ' ἂν γεγονὼς ᾖ
τὸν χρόνον ὅσον ὁ νόμος εἴρηκεν. δοῦλος δ' ἄν τις ἐλεύ-
θερον ὀργῇ τρώσῃ, παραδότω τὸν δοῦλον ὁ κεκτημένος
τῷ τρωθέντι χρῆσθαι ὅτι ἂν ἐθέλῃ· ἐὰν δὲ μὴ παραδι-
δῷ, αὐτὸς τὴν βλάβην ἐξιάσθω. ἐὰν δὲ ἐκ συνθήκης αἰ-
τιᾶταί τοῦ δούλου καὶ τοῦ τρωθέντος, μηχανὴν εἶναι τὸ
γεγονὸς ἀμφισβητησάτω· ἐὰν δὲ μὴ ἕλῃ, τριπλασίαν
ἐκτεισάτω τὴν βλάβην· ἑλὼν δέ, ἀνδραποδισμοῦ ὑπόδι-
κον ἐχέτω τὸν τεχνάζοντα μετὰ τοῦ δούλου. ὃς δ' ἂν ἄκων
ἄλλος ἄλλον τρώσῃ, τὸ βλάβος ἁπλοῦν ἀποτινέτω· τύχης
γὰρ νομοθέτης οὐδεὶς ἱκανὸς ἄρχειν· δικασταὶ δὲ ὄντων,
οἵπερ τοῖς ἐκγόνοις πρὸς τοὺς γεννήτορας ἐρρήθησαν,
καὶ τιμώντων τὴν ἀξίαν τῆς βλάβης· ἱκανὰ μὲν δή, πα-
θήματα τὰ προειρημένα πάθη· αἰκίαν δέ, καὶ τὸ τῆς αἰκίας
πᾶν γένος· ὧδε οὖν χρὴ περὶ τῶν τοιούτων, πάντα ἄνδρα
καὶ παῖδα καὶ γυναῖκα διανοεῖσθαι· τὸ πρεσβύτερον· ὅσον
σμικρῷ τοῦ νεωτέρου ἐστὶ πρεσβευόμενον, ἔν τε θεοῖς, καὶ
ἐν ἀνθρώποις τοῖς μέλλουσι σώζεσθαι καὶ εὐδαιμονήσειν·
αἰκίαν οὖν περὶ πρεσβύτερον ἐν πόλει γενομένην ὑπὸ νεω-
τέρου ἰδεῖν, αἰσχρὸν καὶ θεομισές· ἔοικεν δὲ νέῳ παντί,

σημ. περὶ τὸ ἐκτίνειν τῇ πόλει
λειτουργίαν μὴ δυνάμενον ὑπὲρ αὐτοῦ.

γεννῆταί εἰσιν, οὐχ οἱ ἐκ γένους καὶ ἀφ' αἵματος προσήκοντες· ἀλλ' οἱ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φατρίας ὄντες, οἷοι δ' εἰσὶ καὶ δημόται καὶ φράτορες· νόμῳ τινὶ ἔχοντες κοινωνίαν. τὸ παλαιὸν εἰς δ' καὶ οὐχ ὡς ὕστερον εἰς ι' διῃρημένου τοῦ Ἀθηναίων πολιτεύματος φυλὰς κατὰ τὰς ὥρας τοῦ ἐνιαυτοῦ· ἑκάστη δὲ εἰς τρία τῶν δὲ καὶ φατρίαι λεγομέναι τρεῖς, κατὰ τοὺς μῆνας ὡς εἶναι ιβ'· ταύτης δὲ πάλιν εἰς λ' γένη· ὡς εἶναι τὰ πάντα, κατὰ τὰς ἡμέρας τοῦ ἐνιαυτοῦ τξ'.

σημ. περὶ τοῦ χρήσασθαι

σημ. περὶ τοῦ βίᾳ ἀνδραποδισμοῦ

σημ. βιαίων